Apparatus:
1 pap. οξυρύγχ’ων
2 r. Πτολλίωνος
7 r. κληρονομίạ
15 r. μαρτυρῶ
17 r. Ταπτολλίωνος also 18 and 22
20 r. l. Ἁρποχράτου
21 r. ἐτῶν

Transcription:
- ca. 60 letter - μηνὸς Νέο]υ Σεβαστοῦ (2nd hand) κϛ, (1st hand) ἐν Ὀξυρύγχων πόλει τῆς Θηβαίδος, ἀγαθῆι τύχηι.
τάδε διέθετο νοοῦσα φρονοῦσα Ταπτολλίων Ν. Ν. τοῦ Πτολλίωνος μητρὸς Ν. Ν.] ἀπὸ κώμης Φθώχεως μετὰ̣ κ̣υρίου τοῦ ἀνεψιοῦ Ἁρμιύσιος Νεχ̣θ̣ενε̣ίκιος τοῦ Πτολίωνος μητρὸς Δι[
ἐν ἀγυιᾷ.̣ ἐφ̣’ ὃ̣ν μὲν περίειμι χρόνον ἔχειν με τὴν τῶν ἰδίων ἐξουσίαν πᾶσα]ν, ὃ ἐὰν βούλωμαι, περὶ αὐτῶν ἐπιτελεῖν καὶ μεταδιατίθεσθαι καὶ πρὸς ἀ̣κ̣ύ̣ρωσιν ἄγειν τήνδε τὴν διαθήκην, [ὃ δ’ ἂν
ἐπιτελέσω κύριον ὑπάρχειν. ἐὰν δὲ ἐπὶ ταύτη τῆ διαθήκη τελευτήσω μηδὲν ἐπιτελέσασ]α καταλείπω κληρον̣ό̣μ̣ους Ἁρμιῦσιν τὸν καὶ Πέλυκα̣ καὶ Ἀμόιν ἀμφοτέρους Ὥρου τοῦ Πέλυ̣κος μητρὸς Εἰρ[ήνης
ἀμφοτέρους ἀπὸ Ὀξυρύγχων πόλεως - ca.14 letters - ἐξ ἴσου ἑκάτερον αὐτῶν, ἐὰν ζῇ, εἰ δὲ] μή, τὰ τούτου τέκνα, [τῶν] ὑπ[αρχου]σ̣ῶ̣ν μοι περὶ μὲν Ποσομποῦς Ἀριστομάχου τ̣ρίτου μέρους ἀρουρῶ̣ν δύο ἡ̣μίσεος
τετάρτου κ̣αὶ περὶ Φθῶχιν τρίτου μέρους ἀρουρῶν - ca. 20 letters - καὶ - ca. ? - ἀρουρῶ]ν̣ δύο καὶ χρηστηρ[ίων τῆς μὲν πατρικῆς, τ]ῆς δ’ ἄλλης μητρικ̣ῆ̣ς̣ καὶ ὧν ἐὰν ἄλλων ἀπολίπω καθ’ ὁνδηποτοῦν τρόπον παντοίων πάντ[ων
ὑπαρχόντων. ἐάν τις αὐτῶ̣ν μεταλλάξῃ ἄτεκνος καὶ ἀδ̣ιά̣θετος, ἔστω τὸ τούτου μέρος] ἐν κ̣ληρονομιας μο̣υ̣ τ̣ο̣ῦ̣ ἑτέρ[ου αὐτῶν, ἐὰ]ν δὲ καὶ ὁ ἕτερος ἐπιμεταλλάξῃ, ὃ̣ [μ]ὴ ε̣ἴ̣η,̣ ἄ̣τ̣εκ̣ν̣ο̣ς̣ καὶ ἀ̣διάθετ̣ο̣ς, ἔστω δέ τιν’ ἀπολιπεῖν τ̣ῶ̣ν ἔγ[γιστά
μ̣ο̣υ γένους ὄντων, μὴ οὔσης μηδενὶ τῷ καθόλου ἐξουσίας παραβαίνειν τι τούτων ἢ χωρὶς] τοῦ τ̣α̣ῦ̣τα μένειν κύρια ἔτι καὶ ἐκτ̣ε̣ί̣[νειν] τ̣ὸν ἐπιχειρήσοντα πρὸς ἀθέτησίν τι τ̣ο̣ύ̣τ̣ων ἄγειν ἐπ[ί]τιμο̣ν̣ δ̣ραχ̣μὰ̣ς χ̣ι̣λίας καὶ ε̣ἰ̣ς τὸ δημόσιον τὰς ἴ̣σ̣[ας.
ἡ̣ διαθήκη κ̣υρία. (3rd hand) Ταπτολλίων Ν. Ν.]ς τοῦ Πτολλίωνος πεπο̣ίημαι τὴν διαθήκην, ἐφ’ ᾗ̣ ἐὰν τελευτήσω, κληρονόμους καταλείπω Ἁ[ρ-
μιῦσιν τὸν καὶ Πέλυκα καὶ Ἀμόιν Ὥρου τοῦ Πέλυκος τοῦ ὑπάρχοντός μοι περὶ Ποσομποῦ]ς Ἀριστομάχο̣υ̣ [τρίτου μέ]ρ̣ους ἀρουρῶ̣ν δύο ἡμίσεο[ς τε]τ̣άρτου καὶ περὶ Φθῶχ̣ιν τρίτο[υ μέ-
ρους ἀρουρῶ̣ν - ca. 20 letters - καὶ - ca. ? - ἀρουρῶν δύο καὶ χρηστηρίων τῆς μὲν πατρ]ι̣κῆς, τῆς δὲ ἄλλης μητρικῆς καὶ ὧ̣ν ἄλλων ἐὰν ἀπολίπω πάντων. ἐὰν δέ τις αὐτῶ̣[ν
μεταλλάξῃ ἄτεκνος καὶ ἀδιάθετος, ἔστω τὸ τούτου μέρος ἐν κληρονομία̣ μου τοῦ ἑτ]έ̣ρου αὐτῶν, ἐὰν̣ δ̣ὲ κ̣αὶ ὁ ἕτερος ἐπιμ̣ε̣τ̣αλλάξῃ ἄτεκνος καὶ ἀδιάθετος, ἔστω τ̣ὰ ἐ̣μὰ̣ μέρ[η
τιν̣’ ἀ̣πολιπεῖν τῶν ἔγγιστά μου γένους ὄντων, ὡ̣ς πρόκειται. εἰ]μ̣ὶ̣ (ἐτῶν) λε ἄ̣[ση]μ̣[ο]ς̣ κ̣[αὶ ἔσ]τιν μου ἡ σφραγ̣ὶς Ἀγαθοῦ Δαίμονος καὶ Ἀγαθῆς Τύχ̣η[ς]. Ἁ̣ρμι̣-
ῦσις Νεχθενεί̣κιος τοῦ Πτολλίωνος ἐπιγέγραμμαι τῆς ἀνεψιᾶς μου κύριος] καὶ εἰμὶ (ἐτῶν) ἄ̣σ̣ημ[ος. Δημόπο]ι̣ος Ἡλιοδώρου τοῦ Δημ̣ο̣ποιου ἀπ’ Ὀξυρύγχω̣ν̣ πόλεως ἔ̣γ̣ρ̣αψα̣
ὑπὲρ αὐτῶ̣ν μὴ εἰδότων γράμματα καὶ εἰμὶ (ἐτῶν) - ca. ? - (4th hand) ]ος τοῦ Ἁρμιύσι̣ο̣ς ἀπὸ τῆς αὐτῆς πόλεως μαρτυρõ τῆ τῆς Ταπτο̣λ-
λίω̣ν̣ος διαθήκη καὶ εἰμὶ (ἐτῶν) ̣ ̣ οὐλὴ κ]νημίạ ἀριστε̣ρ̣ᾷ κ̣α̣ὶ̣ ἔστιν μου ἡ σφραγὶς Τύχης κυβερνώσης.
(5th hand) - ca. 34 letters - ἀπὸ τῆς αὐτῆς πόλεως] μαρτυρῶ τῇ τ̣ῆ̣ς̣ Τ̣α̣πτολύονος διαθήκ̣η κ̣α̣ὶ̣ ε̣ἰ̣μὶ ὡς (ἐτῶν) μ ο̣ὐ(λὴ) ὀ̣φρ(ύι) δεξι̣[ᾷ̣ καὶ
ἔστιν μου ἡ̣ σ̣φραγὶ̣ς - ca. ? - (6th hand) ἀπὸ τῆς αὐ]τῆς πόλεως μαρτυρῶ τῇ τῆς Ταπτολίωνος διαθήκη καὶ εἰμεὶ ἐτῶν [ ̣
- ca. 40 letters - καὶ ἔστιν μου ἡ̣ σ̣φ̣ρ̣]αγὶς Βησάτων. (7th hand) Πτολλερῶς Διονυτᾶτος τοῦ Πτολλερῶτος ἀπ̣ὸ̣ τῆς α̣ὐ̣τ̣ῆ̣ς̣ [πόλε-

ως μαρτυρῶ τῇ τῆς Ταπτολλίωνος διαθήκῃ καὶ εἰμὶ (ἐτῶν) ̣ ̣]οὐλὴ ἀντικνημίῳ ἀ
ριστερῷ καὶ ἔστιν μου ἡ σφραγὶς Ἁρποχράτη[ς.
(8th hand) - ca. 60 letters - ἀπὸ τῆς αὐτ]ῆ[ς πόλεως μαρ]τυ[ρ]ῶ τῇ τῆς Τ[α
πτολλίωνος] διαθήκῃ καὶ εἰμὶ ἐτους τριάκοντα ἑπτὰ
- ca.? - καὶ ἔστιν μου ἡ σφραγὶς - ca. ? -. (9th hand) ἀπὸ τῆς αὐ]τῆς πόλε[
ως μαρτυρ]ῶ τῇ τῆς Ταπτολίω[νο]ς διαθήκῃ καὶ εἰμὶ ἐτῶν τριά-
κοντα - ca. ? - καὶ ἔστιν μου ἡ σφραγὶς - ca.? -